5 Μαρτίου 2014

# Άγιος Ιωάννης Χρυσόστομος:ΛΟΓΟΣ Α΄ Περὶ αγάπης -μέρος 1ο

[Άγιοι - Πατέρες - Γέροντες](#) / [Άγ. Ιωάννης Χρυσόστομος](#) / [Άγιοι - Πατέρες - Γέροντες](#) / [Ορθόδοξη πίστη](#)



ΟΜΙΛΙΑ Α΄. Περί αγάπης.

Βουλόμενος ο φιλάνθρωπος Θεός ημών συνδήσαι πάντας αλλήλοις, αγαπητοί, τοιαύτην τοις πράγμασιν ενέθηκεν ανάγκην, ως εν τω του πλησίον συμφέροντι το του ετέρου δεδέσθαι. Και γαρ ο γεωργός ου τοσούτον σπείρει σίτον, όσον αρκέσαι εαυτώ, επεί πάλαι και εαυτόν και τους άλλους απώλεσεν αν· και ο στρατιώτης ουχ ίνα εαυτόν διασώση, παρατάττεται προς κινδύνους, αλλ' ίνα και τας πόλεις εν ασφαλεία καταστήση· και ο έμπορος ου τοσαύτα κομίζει όσα αυτώ μόνω αρκέσαι, αλλ' όσα και ετέροις πολλοίς. Επειδή γαρ ετέρως ουκ ηνείχοντο άνθρωποι τα του πλησίον ζητείν, ει μη εις ταύτην καταστήσειεν την ανάγκην, δια τούτο ούτως αυτά συνέζευξεν ο Θεός, και ουκ αφίησι πρότερον επί το οικείον συμφέρον ελθείν μη δια των αλλοτρίων συμφερόντων οδεύσαντας. Ουδέ γαρ ένι σωθήναι μη τούτο έχοντα· αλλά, καν την άκραν φιλοσοφίαν ασκής, των δε λοιπών απολλυμένων αμελής, ουδεμίαν κτήση παρά τω Θεώ παρρησίαν. Εάν γαρ ψωμίσω τα υπάρχοντά μου, φησίν ο θείος Απόστολος, και παραδώ το σώμά μου ίνα καυθή, αγάπην δε μη έχω, ουδέν ωφελούμαι. Ει δε βούλει μαθείν ηλίκον όπλον εστί το τους αδελφούς επισπάσασθαι, καν άπιστοί τινες είεν, και το πράον είναι 63.568 και ήμερον και γλυκύν παρεχόμενον τρόπον, άκουσον τι φησιν αυτός ούτος ο μακάριος Παύλος, προς δικαστήν εισιών άπιστον, κριθησόμενος· Μακάριον ηγούμαι εμαυτόν, μέλλων επί σου κρίνεσθαι. Ταύτα δε έλεγεν ου κολακεύων αυτόν, άπαγε, αλλά δια της ημερότητος κερδάναι βουλόμενος. Διό και εκ μέρους εκέρδανε, και τον δικαστήν είλεν ο τέως κατάδικος είναι νομιζόμενος, και την νίκην αυτός ο χειρωθείς ομολογεί λαμπρά τη φωνή παρόντων απάντων, λέγων·

Εν ολίγω με πείθεις, Χριστιανόν γενέσθαι. Τι ουν ο Παύλος; Ευξαίμην αν έγωγε μη μόνον σε, αλλά και τους παρόντας άπαντας τούτο γενέσθαι όπερ εγώ. Όταν ουν εκείνος μεν τοσούτον απαιτή μέτρον, ημείς δε μηδέ το έλαττον παρέχωμεν, τίνος εσόμεθα συγγνώμης άξιοι; Και μη το δείσθαι ετέρου αισχρόν τι είναι νόμιζε· της γαρ αφάτου σοφίας του Θεού τούτο γέγονεν έργον. Ει γαρ αλλήλων χρήζομεν, και ουδέ η της χρείας ανάγκη συνάγει εις φιλίαν ημάς· ει αυτάρκεις ήμεν, ουκ αν ήμεν θηρία ατίθασσα; Βια και ανάγκη ημάς υπέταξεν ο Θεός αλλήλοις, και καθ' εκάστην συγκρουόμεθα αλλήλοις ημέραν· ει τούτον περιείλε τον χαλινόν, τις αν ταχέως ηράσθη της του πλησίον φιλίας; Διά γαρ τούτο μίαν οικίαν ημίν τον κόσμον έδω 63.569 κεν ο Θεός, και ένα ανήψε πάσι λύχνον, τον ήλιον, και ένα εξέτεινεν όροφον, τον ουρανόν, και μίαν ανήκε τράπεζαν, την γην. Και ου τω μεν πλουτούντι πλέον και τιμιώτερον, τω πένητι δε ευτελέστερον και έλαττον εχαρίσατο, ίνα πολλήν και αδιάσπαστον την προς αλλήλους ένωσιν έχωμεν, και μη τις έχη λέγειν, Ο δείνά μοι φίλος ουκ έστιν, ουδέ συγγενής, ουδέ γείτων, ουδέ έχω

τι κοινόν προς αυτόν· πως προσελεύσομαι, πως διαλέξομαι; Ουδέ όσην φίλους προς φίλους επιδείκνυσθαι χρη την εγγύτητα, τοσαύτην ημάς έχειν δει την προς αλλήλους οικείωσιν, αλλ' όσην μέλος προς μέλος. Και ώσπερ ουκ αν δύναιο λέγειν· Ποθεν μοι οικειότης και εγγύτης προς αυτόν; καταγέλαστον γαρ τούτο· ούτως ουδέ περί του αδελφού δυνήση τούτο ειπείν. Ει γαρ μηδέ συγγενής μηδέ φίλος εστίν, αλλ' άνθρωπός εστι, της αυτής σοι μετέχων

φύσεως, τον αυτόν έχων Δεσπότην, και εν τω αυτώ κόσμω γενόμενος. Επί μεν γαρ των χρημάτων τους μηδέν οφείλοντας επαινούμεν· επί δε της αγάπης τους διηνεκώς οφείλοντας αποδεχόμεθα και θαυμάζομεν. Πειθώμεθα τοίνυν και συνάπτωμεν εαυτούς αλλήλοις, καν βούληταί τις αποστήναι, μη συ απορραγής, μηδέ το ψυχρόν εκείνο φθέγξη ρήμα· Εάν φιλή με, φιλώ· εάν δε μη φιλή με οφθαλμός ο δεξιός, εξορύττω αυτόν· αλλ' όταν σε μη βούληται φιλείν, τότε πλείονα επιδείκνυσο την αγάπην, ίνα αυτόν επισπάση· και γαρ μέλος εστί· το δε μέλος όταν υπό τινός ανάγκης αποσχίζηται του λοιπού σώματος, πάντα ποιούμεν, ώστε ενώσαι πάλιν αυτό, και πλείονα πρόνοιαν επιδεικνύμεθα τότε. Και γαρ πλείων ο μισθός, όταν μη βουλόμενον φιλείν εφελκύση. Ει δε επί αρίστου κελεύει καλείν τους μη δυναμένους ημίν αντιδούναι, ίνα αυξηθή τα της αντιδόσεως· πολλώ μάλλον επί φιλίας τούτο δει ποιείν. Ο μεν γαρ φιλούμενος φιλών, απέδωκέ σοι την αμοιβήν· ο δε φιλούμενος και μη φιλών, τον Θεόν ανθ' εαυτού σοι χρεώστην κατέστησε. Και χωρίς δε τούτων, όταν μεν φιλή σε, ου πολλής δείται της σπουδής· όταν δε μη φιλή, τότε σου χρείαν έχει της αντιλήψεως. Μη τοίνυν την αιτίαν της σπουδής αιτίαν ποιού ραθυμίας, μηδέ λέγε, ότι Επειδή νοσεί, δια τούτο αυτού αμελώ· και γαρ νόσος εστίν η κατάψυξις της αγάπης· αλλά συ θέρμανον το καταψυχθέν· το γαρ σφόδρα φιλείσθαι εθέλειν, από του σφόδρα φιλείν γίνεται. Όταν μεν γαρ μη σφόδρα περί τινά ώμεν διακείμενοι, ουδέ της παρ' εκείνου σφοδράς δεόμεθα φιλίας, καν μέγας η, καν περιφανής· όταν δε θερμώς τινα και γνησίως φιλώμεν, καν ευτελής η, καν μικρός ο φιλούμενος, μεγίστην τιθέμεθα δόξαν το παρ' εκείνου φίλτρον. Ει δε αδελφώ χρήσασθαι ουκ οίδας, πότε δυνήση αλλοτρίω χρήσασθαι καλώς; ει το μέλος το σον ουκ επίστασαι μεταχειρίσαι, πότε τον έξωθεν επισπάσασθαι δυνήση και συνάψαι εαυτώ; Βούλει μη ακούειν κακώς; ουκούν μηδέ λέγε. Επιθυμείς επαινείσθαι; ουκούν εγκωμίαζε. Ελεείσθαι βούλει; ουκούν ελέει. Συγγνώμης θέλεις τυχείν; ουκούν μεταδίδου. Θελεις μη πλεονεκτείσθαι; ουκούν μη άρπαζε. Τοιούτοι περί τους πλησίον γινώμεθα, οίους περί ημάς εκείνους είναι βουλόμεθα. Ώσπερ γαρ ψυχή άνευ σώματος ου καλείται άνθρωπος, ουδ' αυ σώμα άνευ ψυχής, ούτως ουδέ αγάπη προς Θεόν, εάν μη έχη ακόλουθον και την προς τον πλησίον αγάπην. Βούλει θεραπεύειν τον δείνα; ου κωλύω, αλλά μη

εις 63.570 ετέρου λύπην· ου γαρ ίνα κατ' αλλήλων συνταττώμεθα, διδάσκαλοι ημίν εδόθησαν, αλλ' ίνα πάντες αλλήλοις συνταττώμεθα. Διά τι εις ει; δια τι ουκ εργάζη πολλούς; δια τι μη γίνη δημιουργός αγάπης; δια τι μη κατασκευάζεις φιλίαν το μέγιστον της αρετής εγκώμιον; Ώσπερ γαρ το εκ συνθήκης είναι κακούς μάλλον παροξύνει τον Θεόν, ούτως το εν ομονοία είναι αγαθούς μάλλον ευφραίνει. Μη γίνου μετά πολλών επί κακία· κατασκεύασόν σοι φίλους προ των οικιών, προ των άλλων απάντων. Ει ο ειρηνοποιός υιός Θεού, και ο φίλους κατασκευάζων πόσω μάλλον; ει ο καταλλάττων μόνον, υιός Θεού καλείται, ο τους καταλλαττομένους φίλους ποιών, τίνος ουκ έσται άξιος; Ει γαρ ο μεν διάβολος εχθρούς ημάς κελεύει πάσι γίνεσθαι, ο δε Θεός ασπάζεσθαι και φιλείν· και ο μεν τω πηλώ και τη πλινθεία προσηλώσας (τούτο γαρ εστιν ο πλούτος), ουδέ τας νύκτας αφίησιν αναπνεύσαι μικρόν· ο δε της μεν περιττής ταύτης και ανονήτου φροντίδος αφίησι, κελεύει δε συνάγειν τους θησαυρούς εν τοις ουρανοίς, ουκ εκ της εις ετέρους αδικίας, αλλ' εκ της οικείας δικαιοσύνης· κακείνος μετά τους πολλούς ιδρώτας και ταλαιπωρίας ου μόνον ου δύναται προστήναι κολαζομένοις ημίν εκεί, και κακώς πάσχουσι δια τους αυτού νόμους, αλλά και επιτείνει την φλόγα· ούτος δε και ποτήριον ημίν επιτάξας δούναι ψυχρόν, ουδέ τούτου τον μισθόν και την αμοιβήν αφίησιν ημάς απολέσαι ποτέ, αλλά μετά πολλής αντιδίδωσι της δαψιλείας· πως ουκ εσχάτης ανοίας, την ούτω προσηνή δεσποτείαν και τοσούτων γέμουσαν αγαθών μη φιλούντας, αχαρίστω και αγνώμονι δουλεύειν τυράννω, και ουδέν ούτε ενταύθα

ούτε εκεί δυναμένω τους πειθομένους αυτώ και προσήκοντας ωφελείν; Μη ουν δυσχεράνητε τοις ειρημένοις· και γαρ εγώ τον φιλούντά με, ουχ όταν επαινή με μόνον, αλλά και όταν εγκαλή διορθούσθαι, τότε φαίην αν μάλιστά με φιλείν. Το μεν γαρ απλώς πάντα επαινείν, και τα καλώς έχοντα και τα μη καλώς, ουκέτι φιλούντος, αλλ' απατεώνος και είρωνος· το δε επαινείν μεν, αν τι των δεόντων γίνηται, εγκαλείν δε, αν τι διημάρτηται, τούτο φίλου και κηδεμόνος εστί. Τον μεν ουν εχθρόν ουδέ επαινούντα δέχομαι, τον δε φίλον και εγκαλούντα προσίεμαι· εκείνος καν φιλή με, αηδής εστιν· ούτος καν τραυματίζη με, ποθεινός εστιν· Αξιοπιστότερα γαρ, φησί τραύματα φίλου, η εκούσια φιλήματα εχθρού. Ο μεν γαρ καν δικαίως καν αδίκως εγκαλή, ουκ ονειδίσαι, αλλά διορθώσαι βουλόμενος τούτο ποιεί· ο δε καν δικαίως εγκαλή, ουχί διορθώσαι, αλλ' εκπομπεύσαι μάλλον σπουδάζων τους ελέγχους επάγει. Ώστε ουδέν ομονοίας ίσον, αγαπητοί· ο γαρ εις πολλοστός εστιν ούτως. Αν γαρ ομόψυχοι ώσι δύο η δέκα, ουκέτι εις εστιν ο εις, αλλά δεκαπλασίων έκαστος αυτών γίνεται· και ευρήσεις εν τοις δέκα τον ένα, και εν τω ενί τους δέκα· καν εχθρόν έχωσιν, ο τω ενί προσβαλών, ως τοις δέκα προσβαλών, ούτως αλίσκεται. Ηπόρησεν ο εις, αλλ'

ουκ έστιν εν απορία· τω γαρ μείζονι μέρει το απορούν συσκιάζεται. Έκαστος τούτων είκοσι χείρας έχει και είκοσιν οφθαλμούς και πόδας τοσούτους, και ψυχάς έχει δέκα· ου γαρ τοις εαυτού μόνον, αλλά και τοις εκείνων εργάζεται πάντα. Ει δε και εκατόν γένοιτο, το αυτό έσται πάλιν. Ο αυτός και εν Περσίδι και εν Ρωμη δύναται είναι, και όπερ η φύσις ου δύναται, ίσχυσεν η της αγάπης δύναμις. Εάν ουν χιλίους έχη φίλους η δισχιλίους, εννόησον που πάλιν υπερβήσεται τα της δυνάμεως. Το γαρ θαυμαστόν τούτό εστι, το χιλιοστόν 63.571 ποιήσαι τον ένα. Τινος ουν ένεκεν ου κτώμεθα την δύναμιν της αγάπης, και εν ασφαλεία εαυτούς καθιστώμεν; μέχρι τίνος εις ένα και δύο περιιστώμεν αυτήν; Καν γαρ πένης η ο φίλους κεκτημένος, πολλώ των πλουσίων ευπορώτερος καθέστηκεν· άπερ γαρ αυτός υπέρ εαυτού ειπείν ουκ επιχειρεί, ταύτα ο φίλος αντ’ εκείνου ερεί· και όσα ου δύναται εαυτώ χαρίσασθαι, δι’ ετέρου χαρίσεται. Και ουκ έστι παθείν κακώς τον υπό τοσούτων δορυφόρων φυλαττόμενον· ου γαρ τοιούτοι του βασιλέως οι σωματοφύλακες ακριβείς, ως ούτοι. Οι μεν γαρ ανάγκη και φόβω την φυλακήν επιδείκνυνται, οι δε ευνοία και αγάπη· κακείνος μεν τους φύλακας αυτού δέδοικεν, ούτος δε τούτοις μάλλον η εαυτώ θαρρεί. Και άλλως· ποίον ούτω τείχος αρραγές, αρμονία λίθων ευμεγεθών ωχυρωμένον, απόρθητον γίνεται ταις των εχθρών εφόδοις, ως το σύστημα των αλλήλους αγαπώντων και εν ομοφροσύνη περιεσφιγμένων; τας γαρ του διαβόλου προσβολάς αποκρούεται· και μάλα εικότως. Οι γαρ μετ’ αλλήλων κατ’ εκείνου παρατασσόμενοι, αήττητοι γίνονται τοις αυτού μηχανήμασι, τα λαμπρά της αγάπης εγείρονται τρόπαια. Και καθάπερ αι της λύρας νευραί πολλαί μεν ούσαι, εις μίαν δε νεύουσαι συμφωνίαν, τερπνότατόν τι μέλος ηχούσιν· ούτως οι προς μίαν συγκεκραμένοι γνώμην, εύηχον ανακρούονται της αγάπης φθόγγον· και γαρ ουδέν της αγάπης γλυκύτερον γένοιτ’ αν. Τι ουκ αν εργάσαι φίλος γνήσιος; πόσην μεν ουκ αν εμποιήσειεν ηδονήν, πόσην δε ωφέλειαν, πόσην δε ασφάλειαν; καν μυρίους θησαυρούς είπης, ουδέν αντάξιον γνησίου φίλου. Και καθάπερ τα λαμπρά των σωμάτων άνθος απορρεί προς τους πλησίον τόπους· ούτω και φίλοι, οις αν παραγένωνται τόποις, την εαυτών χάριν αφιάσι. Κρείσσον ουν εν σκότω διάγειν, η φίλων είναι χωρίς. Ου γαρ ούτω πυρετός κατακαίειν είωθε σώματος φύσιν, ως τας ψυχάς το κεχωρίσθαι των φιλουμένων. Τοιούτος γαρ εστιν ο της αγάπης έρως, ως τους μη συμπαρόντας ημίν, αλλ’ απόντας, ποθουμένους δε, καθ’ εκάστην φαντάζεσθαι ποιείν ημάς την ημέραν· και των μεν εν χερσί πάντων αφίστησι, μόνω δε τω ποθουμένω προσδεσμεί την του φιλούντος ψυχήν. Ει δε αγαπώμενόν τις ορών, μάλλον δε μεμνημένος τούτου, διανίσταται τη ψυχή καιυψηλός γίνεται την διάνοιαν, και πάντα ευκόλως φέρει εντρυφών τη μνήμη· ο τον όντως αγαπήσαι ημάς καταξιώσαντα έχων εν διανοία, και μεμνημένος αυτού, πότε η λυπηρού τινος αισθήσεται, η φοβερόν τι και επικίνδυνον φοβηθήσεται; Ουδέποτε. Ει γαρ παρά ανθρώπων δυνατών αγαπώμενοι φοβεροί πάσίν εσμεν,

πολλώ μάλλον παρά του Θεού. Καν χρήματα δέη, καν σώματα, καν αυτήν την ψυχήν υπέρ ταύτης δούναι της αγάπης, μη φεισώμεθα. Ου γαρ αρκεί το δια ρημάτων λέγειν, ότι αγαπώμεν, αλλά χρη και την εκ των πραγμάτων δεικνύειν απόδειξιν· ουδέ γαρ αυτός δια των ρημάτων μόνον, αλλά και δια των πραγμάτων έδειξε την αγάπην. Ει γαρ εν ταις των μεγάλων οικίαις οικέτης ο τα αυτού, του δεσπότου ποιησάμενος, ου τα αυτού, του δεσπότου πεποίηκεν, αλλά τα του δεσπότου, εαυτού, και ομοίως αυτώ τοις εκείνου κέχρηται, και πολλοί των οικετών μάλλον αυτόν δεδοίκασιν η εκείνον· και επειδή των εαυτού κατεφρόνησεν, ουχί κατεφρόνησε των εαυτού, αλλά μάλλον μειζόνων επέτυχε· πολλώ μάλλον εν τοις πνευματικοίς.

**Συνεχίζεται…**

**Πηγή:** paterikiorthodoxia.com